## 07 ΑΠΡΙΛΙΟΥ 2024

Κυριακὴ Γ΄ Νηστειῶν

Σταυροπροσκύνησις

Καλλιοπίου Μάρτυρος, Ἀκυλίνας Μάρτυρος, Ὁσίων: Γερασίμου Βυζαντίου, Σάββα. τοῦ ἐν Καλύμνῳ

Ἦχος γ΄. Ἑωθινὸν ΙΑ΄.

* * * * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον, Συναπτὴ μεγάλη, μεθ᾿ ἣν ἐκφώνησις·

*Ὅτι πρέπει σοι πᾶσα δόξα...*

Ἦχος β΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

### ΑΠΟΛΥΤΙΚΙΑ

Τὸ Ἀναστάσιμον. Ἦχος γ΄.

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας ᾅδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα. Τοῦ Σταυροῦ. Ἦχος α΄.

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης Πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·

*Ὅτι σὸν τὸ κράτος...*

* * *

### ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν

Ἀναστάσιμον. Ἦχος γ΄.

Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἡ ἀπαρχὴ τῶν κεκοιμημένων· ὁ Πρωτότοκος τῆς κτίσεως, καὶ δημιουργὸς πάντων τῶν γεγονότων, τὴν καταφθαρεῖσαν φύσιν τοῦ γένους ἡμῶν, ἐν ἑαυτῷ ἀνεκαίνισεν. Οὐκέτι θάνατε κυριεύεις· ὁ γὰρ τῶν ὅλων Δεσπότης, τὸ κράτος σου κατέλυσε.

Δόξα.

Σαρκὶ τοῦ θανάτου γευσάμενος Κύριε, τὸ πικρὸν τοῦ θανάτου, ἐξέτεμες τῇ ἐγέρσει σου, καὶ τὸν ἄνθρωπον κατ᾿ αὐτοῦ ἐνίσχυσας, τῆς ἀρχαίας κατάρας τὴν ἧτταν ἀνακαλούμενος. Ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον. Αὐτόμελον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Μετὰ τὴν β´ Στιχολογίαν

Ἦχος γ´. Τὴν ὡραιότητα.

Τὸ ἀναλλοίωτον τὸ τῆς θεότητος, καὶ τὸ ἑκούσιον πάθος σου Κύριε, εἰς ἑαυτὸν καταπλαγείς, ὁ ᾅδης ἐπωδύρετο· Τρέμω τὴν τοῦ σώματος, μὴ φθαρεῖσαν ὑπόστασιν· βλέπω τὸν ἀόρατον, μυστικῶς πολεμοῦντά με· διὸ καὶ οὓς κατέχω κραυγάζουσι· Δόξα Χριστὲ τῇ ἀναστάσει σου.

Δόξα.

Τὸ ἀκατάληπτον τὸ τῆς σταυρώσεως, καὶ ἀνερμήνευτον τὸ τῆς ἐγέρσεως, θεολογοῦμεν οἱ πιστοί, ἀπόρρητον μυστήριον· σήμερον γὰρ θάνατος, καὶ ὁ ᾅδης ἐσκύλευται, γένος δὲ ἀνθρώπινον, ἀφθαρσίαν ἐνδέδυται· διὸ καὶ εὐχαρίστως κραυγάζομεν· Δόξα Χριστὲ τῇ ἀναστάσει σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν ἀκατάληπτον καὶ ἀπερίγραπτον, τὸν ὁμοούσιον, Πατρὶ καὶ Πνεύματι, ἐν τῇ γαστρί σου μυστικῶς, ἐχώρησας Θεομῆτορ· μίαν καὶ ἀσύγχυτον, τῆς Τριάδος ἐνέργειαν, ἔγνωμεν τῷ τόκῳ σου, ἐν τῷ κόσμῳ δοξάζεσθαι· διὸ καὶ εὐχαρίστως βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Εἶτα, Κάθισμα τοῦ Σταυροῦ.

Ἦχος πλ. δ´. Τὸ προσταχθὲν μυστικῶς.

Ἐν Παραδείσῳ μὲν τὸ πρίν, ξύλῳ ἐγύμνωσεν, ἐπὶ τῇ γεύσει ὁ ἐχθρός, εἰσφέρων νέκρωσιν· τοῦ Σταυροῦ δὲ τὸ ξύλον, τῆς ζωῆς τὸ ἔνδυμα, ἀνθρώποις φέρον ἐπάγη ἐπὶ τῆς γῆς, καὶ Κόσμος ὅλος ἐπλήσθη πάσης χαρᾶς· ὃν ὁρῶντες προσκυνούμενον, Θεῷ ἐν πίστει λαοὶ συμφώνως ἀνακράξωμεν· Πλήρης δόξης ὁ οἶκος αὐτοῦ.

Δόξα. Καὶ νῦν. Τὸ αὐτό.

* * *

**Εὐλογητάρια οὐ ψάλλονται χάριν τῆς δεσποτικῆς ἑορτῆς.**

**αὖθις**

## ΥΠΑΚΟΗ, ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

ἡ Ὑπακοή. Ἦχος γ´.

Ἐκπλήττων τῇ ὁράσει, δροσίζων τοῖς ῥήμασιν, ὁ ἀστράπτων Ἄγγελος, ταῖς Μυροφόροις ἔλεγε· Τὸν ζῶντα τί ζητεῖτε ἐν μνήματι; ἠγέρθη κενώσας τὰ μνήματα· τῆς φθορᾶς ἀλλοιωτήν, γνῶτε τὸν ἀναλλοίωτον· εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου! ὅτι τὸ γένος ἔσωσας τῶν ἀνθρώπων.

οἱ Ἀναβαθμοί. Ἦχος γ´.

Ἀντίφωνον Α´.

Τὴν αἰχμαλωσίαν Σιών, σὺ ἐξείλου ἐκ Βαβυλῶνος, κἀμὲ ἐκ τῶν παθῶν, πρὸς ζωὴν ἕλκυσον Λόγε.

Ἐν τῷ νότῳ οἱ σπείροντες, δάκρυσιν ἐνθέοις, θεριοῦσι στάχυας, ἐν χαρᾷ ἀειζωΐας.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶσα ἀγαθοδωρία, ὡς Πατρὶ καὶ Υἱῷ συναστράπτει· ἐν ᾧ τὰ πάντα ζῇ καὶ κινεῖται.

Ἀντίφωνον Β´.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον τῶν ἀρετῶν, μάτην κοπιῶμεν· τὴν δὲ ψυχὴν σκέποντος, οὐδεὶς ἡμῶν πορθεῖται τὴν πόλιν.

Τοῦ καρποῦ τῆς γαστρός, τῷ Πνεύματι υἱοποιητῶς σοι τῷ Χριστῷ, ὡς Πατρὶ οἱ Ἅγιοι πάντοτε εἰ-

σί.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἐνθεωρεῖται πᾶσα ἁγιότης, σοφία· οὐσιοῖ πᾶσαν γὰρ κτίσιν· αὐτῷ λατρεύσωμεν, Θεὸς γὰρ ὡς Πατρί τε, καὶ Λόγῳ.

Ἀντίφωνον Γ΄.

Οἱ φοβούμενοι τὸν Κύριον, μακάριοι, τρίβους βαδιοῦνται τῶν ἐντολῶν, φάγονται, ζωηρὰν γὰρ παγκαρπίαν.

Κύκλῳ τῆς τραπέζης σου εὐφράνθητι, καθορῶν σου ποιμενάρχα, τὰ ἔκγονα φέροντα, κλάδους ἀγαθοεργίας.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ὁ πᾶς πλοῦτος τῆς δόξης, ἐξ οὗ χάρις καὶ ζωὴ πάσῃ τῇ κτίσει· σὺν Πατρὶ γάρ, ἀνυμνεῖται καὶ τῷ Λόγῳ.

Προκείμενον

Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε· καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (δίς)

Στίχ. Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Εἴπατε ἐν τοῖς ἔθνεσιν...

* * *

## ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

ὁ διάκονος· ***Τοῦ Κυρίου δεηθῶμεν.*** Κύριε, ἐλέησον. ὁ ἱερεύς· ***Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...***

Ἀμήν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Αἰνεσάτω πνοὴ… πᾶσα τὸν Κύριον.

ὁ διάκονος· ***Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.*** Κύριε, ἐλέησον. (γ΄)

ὁ διάκονος· ***Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.*** ὁ ἱερεύς· ***Εἰρήνη πᾶσι.***

Καὶ τῷ Πνεύματί σου.

ὁ ἱερεύς· ***Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.*** ὁ διάκονος· ***Πρόσχωμεν.***

Δόξα σοι, Κύριε, δόξα σοι.

ὁ Ἱερεὺς ἀναγινώσκει τὸ ἐνδιάτακτον ἑωθινὸν Εὐαγγέλιον

### Ἑωθινὸν ΙΑ΄

### Ἐκ τοῦ κατὰ Ἰωάννην

(κ΄ 15-25)

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν καὶ λέγει τῷ Σίμωνι Πέτρῳ· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ· Ναί, Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου. Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ· Ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Ποίμαινε τὰ πρόβατά μου. Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, φιλεῖς με, καὶ εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Βόσκε τὰ πρόβατά μου. Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις. Τοῦτο δὲ εἶπε σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. Καὶ τοῦτο εἰπὼν λέγει αὐτῷ· Ἀκολούθει μοι. Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; Τοῦτον ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί; λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; Σὺ ἀκολούθει μοι. Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει, ἀλλ᾽ ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων καὶ γράψας ταῦτα, καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. Ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ᾽ ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

Δόξα σοι, Κύριε, δόξα σοι.

ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης·

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας δι᾽ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

οἱ χοροὶ ψάλλουν ἀντιφωνικῶς κατὰ στίχον

**Ἦχος πλ. δ΄.**

Ἐλεῆμον, Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα. Ἦχος πλ. δ΄.

Τῆς μετανοίας ἄνοιξόν μοι πύλας, ζωοδότα· ὀρθρίζει γὰρ τὸ πνεῦμά μου πρὸς ναὸν ἅγιόν σου, ναὸν φέρον τοῦ σώματος ὅλον ἐσπιλωμένον· ἀλλ᾽ ὡς οἰκτίρμων κάθαρον εὐσπλάγχνῳ σου ἐλέει.

Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Τῆς σωτηρίας εὔθυνόν μοι τρίβους, Θεοτόκε· αἰσχραῖς γὰρ κατερρύπωσα τὴν ψυχὴν ἁμαρτίαις, ὡς ῥαθύμως τὸν βίον μου ὅλον ἐκδαπανήσας· ταῖς σαῖς πρεσβείαις ῥῦσαί με πάσης ἀκαθαρσίας.

καὶ τὸ Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν ἐννοῶν ὁ τάλας, τρέμω τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως· ἀλλὰ θαρρῶν εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου, ὡς ὁ Δαυῒδ βοῶ σοι· Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα σου ἔλεος.

*Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...* Κύριε, ἐλέησον. (ιβ΄) *Ἐλέει καὶ οἰκτιρμοῖς...* Ἀμήν.

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

ὁ Κανὼν τοῦ Τριῳδίου μόνον, εἰς η΄.

ποίημα τοῦ ἁγίου Θεοδώρου τοῦ Στουδίτου

### Ὠιδὴ α΄. Ἦχος α΄. Ὁ Εἱρμός.

Ὁ θειότατος προετύπωσε πάλαι Μωσῆς, ἐν ἐρυθρᾷ θαλάσσῃ, διαβιβάσας Ἰσραήλ, τῷ Σταυρῷ σου τὴν ὑγράν, τῇ ῥάβδῳ τεμών, ᾠδήν σοι ἐξόδιον, ἀναμέλπων Χριστὲ ὁ Θεός. (δίς)

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Πανηγύρεως ἡμέρα, τῇ Ἐγέρσει Χριστοῦ θάνατος φροῦδος ὤφθη, ζωῆς ἀνέτειλεν αὐγή· ὁ Ἀδὰμ ἐξαναστὰς χορεύει χαρᾷ· διὸ ἀλαλάξωμεν ἐπινίκιον ᾄδοντες.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Προσκυνήσεως ἡμέρα τοῦ τιμίου Σταυροῦ, δεῦτε πρὸς τοῦτον πάντες· τῆς γὰρ Ἐγέρσεως Χριστοῦ, τὰς αὐγὰς φωτοβολῶν, προτίθεται νῦν. Αὐτὸν ἀσπασώμεθα ψυχικῶς ἀγαλλόμενοι.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐπιφάνηθι ὁ μέγας, τοῦ Κυρίου Σταυρός, δεῖξόν μοι ὄψιν θείαν, τῆς ὡραιότητός σου νῦν ἄξιον προσκυνητήν, αἰνέσεώς σου· καὶ γὰρ ὡς ἐμψύχῳ σοι, καὶ φωνῶ, καὶ προσπτύσσομαι.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Αἰνεσάτωσαν συμφώνως, Οὐρανὸς καὶ ἡ γῆ, ὅτι πρόκειται πᾶσιν, ὁ παμμακάριστος Σταυρός, ᾧ παγεὶς σωματικῶς, ἐτύθη Χριστός. Αὐτὸν ἀσπασώμεθα, ψυχικῶς ἀγαλλόμενοι.

Δόξα. Τριαδικόν.

Ὦ Τριὰς τοῖς χαρακτῆρσιν, ὦ Μονὰς τῇ μορφῇ, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, ἡ ὁμοδύναμος Ἑνὰς ἐν βουλῇ καὶ θελήσει, καὶ κράτους ἀρχῇ, τὸν Κόσμον σου φύλαττε, τὴν εἰρήνην βραβεύουσα.

Καὶ νῦν. Θεοτοκίον.

Πεῖραν ὅλως ἡ Παρθένος, μὴ εἰδυῖα ἀνδρός, ἄσπορον τίκτεις βρέφος, ἄχραντον φέρεις τοκετόν, τὸν τῶν ὅλων ποιητήν, Χριστὸν τὸν Θεόν. Αὐτὸν ἐκδυσώπησον εἰρηνεῦσαι τὰ σύμπαντα.

### Ὠιδὴ γ΄. Ἦχος α΄. Ὁ Εἱρμός.

Στερέωσον Δέσποτα Χριστέ, τῷ Σταυρῷ σου ἐν πέτρᾳ με τῇ τῆς πίστεως, μὴ σαλευθῆναι τὸν νοῦν, ἐχθροῦ προσβολαῖς, τοῦ δυσμενοῦς· μόνος γὰρ εἶ ἅγιος. (δίς)

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Δεῦτε ᾆσμα ᾄσωμεν καινόν, τὴν κατάλυσιν Ἅιδου πανηγυρίζοντες· ἐκ γὰρ τοῦ τάφου Χριστός, ἀνέστη τὸν θάνατον ἑλών, καὶ σώσας τὰ σύμπαντα.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Δεῦτε ἀρυσώμεθα πιστοὶ οὐκ ἐκ κρήνης βρυούσης ὕδωρ φθειρόμενον, ἀλλὰ πηγὴν φωτισμοῦ, Σταυροῦ προσκυνήσει τοῦ Χριστοῦ· ἐν ᾧ καὶ καυχώμεθα.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Πάλαι, ὃν ἐτύπου Μωϋσῆς, ταῖς παλάμαις Σταυρόν σου νῦν προσπτυσσόμενοι, τὸν νοητὸν Ἀμα-

λὴκ τροπούμεθα Δέσποτα Χριστέ· δι᾿ οὗ καὶ σεσώσμεθα.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὄμμασι καὶ χείλεσιν ἁγνοῖς, ἀνακρούοντες μέλος ἀγαλλιάσεως τὸν τοῦ Κυρίου Σταυρόν, χαρᾷ προσκυνήσωμεν πιστοί, κροτοῦντες ἐν ᾄσμασι.

Δόξα. Τριαδικόν.

Ἕνα ὑποστάσεσι τρισί, Θεὸν ἄναρχον σέβω, μὴ διαιρούμενον, τῇ τῆς οὐσίας μορφῇ, Πατέρα, Υἱὸν καὶ Πνεῦμα ζῶν, ἐν οἷς βεβαπτίσμεθα.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν βάτῳ Μωσῆς σου τυπικῶς τὸ μυστήριον πάλαι Σεμνὴ ἑώρακεν· ὡς γὰρ ἐκείνην ἡ φλόξ, τὸ πῦρ τῆς Θεότητος τὴν σήν, νηδὺν οὐ κατέφλεξεν.

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·

*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...*

* * *

## ΜΕΣΩιΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

τὸ Ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου.

Κοντάκιον. Ἦχος γ΄. Ἡ παρθένος σήμερον.

Ἐξανέστης σήμερον, ἀπὸ τοῦ τάφου Οἰκτίρμον, καὶ ἡμᾶς ἐξήγαγες, ἐκ τῶν πυλῶν τοῦ θανάτου· σήμερον Ἀδὰμ χορεύει, καὶ χαίρει Εὔα, ἅμα δέ, καὶ οἱ Προφῆται σὺν Πατριάρχαις, ἀνυμνοῦσιν ἀκαταπαύστως, τὸ θεῖον κράτος τῆς ἐξουσίας σου.

ὁ Οἶκος

Ὁ οὐρανὸς καὶ ἡ γῆ σήμερον χορευέτωσαν, καὶ Χριστὸν τὸν Θεὸν ὁμοφρόνως ὑμνείτωσαν, ὅτι τοὺς δεσμίους ἐκ τῶν τάφων ἀνέστησε. Συγχαίρει πᾶσα ἡ κτίσις, προσφέρουσα ἐπάξια ᾄσματα, τῷ πάντων Κτίστῃ καὶ Λυτρωτῇ ἡμῶν· ὅτι τοὺς βροτοὺς ἐξ ᾅδου σήμερον, ὡς ζωοδότης συνανελκύσας, πρὸς οὐρανοὺς συνανυψοῖ, καὶ καταῤῥάσσει τοῦ ἐχθροῦ τὰς ἐπάρσεις, καὶ πύλας τοῦ ᾅδου διαθλάττει, τῷ θείῳ κράτει τῆς ἐξουσίας αὐτοῦ.

Καθίσματα Σταυρώσιμα ἐκ τοῦ Τριῳδίου

Ἦχος πλ. β΄.

Ὁ Σταυρός σου Κύριε ἡγίασται· ἐν αὐτῷ γὰρ γίνονται ἰάματα τοῖς ἀσθενοῦσιν ἐν ἁμαρτίαις· δι᾿ αὐτοῦ σοι προσπίπτομεν· Ἐλέησον ἡμᾶς.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Σήμερον τὸ Προφητικὸν πεπλήρωται λόγιον· ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου Κύριε· καὶ ξύλου σωτηρίας γευσάμενοι τῶν ἐξ ἁμαρτίας παθῶν, ἐλευθερίας ἐτύχομεν, πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

Δόξα.

Μόνον ἐπάγη τὸ ξύλον Χριστὲ τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθησαν τοῦ θανάτου Κύριε· ὃν γὰρ κατέπιε πόθῳ ὁ Ἅδης, ἀπέλυσε τρόμῳ· ἔδειξας ἡμῖν τὸ σωτήριόν σου Ἅγιε, καὶ δοξολογοῦμέν σε Υἱὲ Θεοῦ· Ἐλέησον ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε Παρθένε, ἱκέτευε τὸν Υἱόν σου, τὸν ἑκουσίως προσπαγέντα ἐν Σταυρῷ, καὶ ἀναστάντα ἐκ νεκρῶν, Χριστὸν τὸν Θεὸν ἡμῶν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·

*Σὺ γὰρ εἶ ὁ Βασιλεύς...*

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου.

Κοντάκιον. Αὐτόμελον. Ἦχος βαρύς.

Οὐκέτι φλογίνη ῥομφαία φυλάττει τὴν πύλην τῆς Ἐδέμ· αὐτὴ γὰρ ἐπῆλθε παράδοξος σβέσις, τὸ ξύλον τοῦ Σταυροῦ· θανάτου τὸ κέντρον, καὶ Ἅιδου τὸ νῖκος ἐλήλαται· ἐπέστης δὲ Σωτήρ μου βοῶν τοῖς ἐν Ἅιδῃ· Εἰσάγεσθε πάλιν εἰς τὸν Παράδεισον.

ὁ Οἶκος

Τρεῖς σταυροὺς ἐπήξατο ἐν Γολγοθᾷ ὁ Πιλᾶτος, δύω τοῖς ληστεύσασι, καὶ ἕνα τοῦ Ζωοδότου· ὃν εἶδεν ὁ Ἅιδης, καὶ εἶπε τοῖς κάτω· Ὢ λειτουργοί μου καὶ δυνάμεις μου, τίς ὁ ἐμπήξας ἧλον τῇ καρδίᾳ μου; ξυλίνη με λόγχη ἐκέντησεν ἄφνω καὶ διαῤῥήσομαι· τὰ ἔνδον μου πονῶ, τὴν κοιλίαν μου ἀλγῶ, τὰ αἰσθητήριά μου· μαιμάσσει τὸ πνεῦμά μου, καὶ ἀναγκάζομαι ἐξερεύξασθαι τὸν Ἀδὰμ καὶ τοὺς ἐξ Ἀδάμ, ξύλῳ δοθέντας μοι· ξύλον γὰρ τούτους εἰσάγει πάλιν εἰς τὸν Παράδεισον.

## Συναξάριον

Τῇ Ζ´ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου ἐνδόξου Μάρτυρος Καλλιοπίου, ἐν Πομπηϊουπόλει τῆς Κιλικίας σταυρωθέντος καὶ τελειωθέντος, ἐπὶ Διοκλητιανοῦ τοῦ διώκτου.

Στίχοι

Καλλιόπιος ἔμπαλιν ἐμπαγεὶς ξύλῳ,
Τὸν ὀρθίως παγέντα δοξάζει Λόγον.
Ζωὴν Καλλιόπιος ἀγήρω ἑβδόμῳ εὗρεν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γεωργίου, ἐπισκόπου Μυτιλήνης, τοῦ Σημειοφόρου.

Στίχοι

Ἔχει Μυτιλήνη σε καὶ τεθνηκότα,
Ὡς ζῶντα, Γεώργιε, προστάτην μέγαν.
Ζωὰν ἐκ θανάτοιο Ἀπριλίου ἑβδόμῃ εὗρε.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου ἐνδόξου Μάρτυρος Ῥουφίνου τοῦ διακόνου ἐν Σινώπῃ.

Στίχοι

Σφαγῆς λογισθεὶς ὡς πρόβατον Ῥουφῖνος,
Σφάττει παλαιὸν τὸν διάβολον λύκον.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Ἁγία ἔνδοξος τοῦ Χριστοῦ Μάρτυς Ἀκυλίνα, τὰς χεῖρας εἰς τοὐπίσω δεσμευθεῖσα, καὶ τὴν κοιλίαν φλεχθεῖσα, τελειοῦται.

Στίχοι

Ὀπισθόχειρα σχοινίοις στρεβλουμένην,
Ἐμπροσθίως φλέγουσι τὴν Ἀκυλίναν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων ἐνδόξων διακοσίων Μαρτύρων τῶν ἐν Σινώπῃ, ξίφει τελειωθέντων.

Στίχοι

Ἀνεῖλεν ἀνδρῶν εἰκάδας δέκα ξίφος,
Οἷς ἀνδρικὸς νοῦς, ἀνδρικὴ καὶ καρδία.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γεωργίου, πατριάρχου Ἱεροσολύμων.

Στίχοι

Γεώργιος θύτης Σιὼν ὢν τῆς κάτω,
Ἱερουσαλὴμ συλλειτουργεῖ τῇ ἄνω.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γερασίμου τοῦ Βυζαντίου, τοῦ ἐν Πάτμῳ ἀσκήσαντος, ἡγιασμένου Διδασκάλου τοῦ Γένους γενομένου, καὶ θεοφιλῶς τελειωθέντος ἐν τῇ Μονῇ Τζαγκαρόλων τῆς Κρήτης, τὸ ἔτος 1739. Ἰστέον ὅτι ἡ τίμια αὐτοῦ κάρα διαφυλάσσεται εὐλαβῶς ἐν τῇ ῥηθείσῃ Μονῇ, ἡ δὲ δεξιὰ αὐτοῦ χεὶρ ἐν τῇ Μονῇ Ἰωάννου τοῦ Θεολόγου ἐν Πάτμῳ ἀπόκειται.

Στίχοι

Ἔφανε Γεράσιμος ἀρεταῖς Πάτμον,

Καὶ νῦν ἐμπιμπλᾶται φωτὸς τοῦ ἀκτίστου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σάββα τοῦ ἐν Καλύμνῳ θαυματουργοῦ, ὁσιακῶς κοιμηθέντος κατὰ τὸ σωτήριον ἔτος 1948 καὶ ἀδιαφθόρου θαυμαστῶς συντηρουμένου ἐν τῇ αὐτόσε Μονῇ τῶν Ἁγίων Πάντων. Ἑορτάζεται δὲ ὁ Ὅσιος καὶ κατὰ τὴν Ε´ Κυριακὴν τῶν Νηστειῶν.

Στίχοι

Σάββας Καλύμνου ὁ ἐκ Θεοῦ προστάτης,
Θαύματα βλύζει ἐκ τῆς σοροῦ λειψάνων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Δανιήλ, τοῦ Περεγιασλὰβλ Ζαλέσκι τοῦ θαυματουργοῦ.

Στίχοι

Ὧιδε Δανιὴλ λατρευτὴς τῆς Τριάδος,
Καὶ ἄνω πάλιν προσκυνητὴς ἀπαύστως.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ τρίτῃ τῶν Νηστειῶν, τιμῶμεν τὴν μνήμην τῆς θεόφρονος Ἁγίας Χλόης τῆς Κορινθίας, συγχρόνου οὔσης καὶ συνεργάτιδος τῶν Ἁγίων Ἀποστόλων, ἐν ταῖς Ἐπιστολαῖς μνημονευομένης.

Στίχοι

Χλόη Χριστῷ ἤνθησε καρποὺς ὡρίμους.
Ὡς τὸ φῶς τῆς πίστεως λαμπρῶς ἐδέχθη.

καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου

Ἐξαιρέτως δὲ τὴν Προσκύνησιν ἐπιτελοῦμεν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, ὡς εἰς τὸ μέσον ἀξιωθέντες φθᾶσαι τῆς Ἱερᾶς Νηστείας. Τελεῖται δὲ πάνδημος Πανήγυρις ἐν τῇ Βασιλικῇ Μονῇ Σταυροβουνίου τῆς Κύπρου.

Στίχοι

Τὸν Σταυρὸν γῆ σύμπασα προσκυνησάτω,
Δι᾿ οὗ περ ἔγνωκε σὲ προσκυνεῖν, Λόγε.

Διὰ τὴν σταυρικὴν δὲ κλῆσιν καὶ διακονίαν τῶν ἱερέων τοῦ Θεοῦ, ἡ Ἐκκλησία τῆς Ἑλλάδος καθώρισε καὶ τιμᾷ τὴν Κυριακὴν ταύτην ὡς Ἡμέραν τῶν Ἱερατικῶν Κλήσεων.

Στίχοι

Τοῦ Σταυροῦ τὴν ὁδὸν κατ᾿ ἴχνος βαδίζων,
Ἱερεὺς ὁ σὸς σὴν ἰσχύν, Σῶτερ, φέρει.

Τῇ αὐτοῦ δυνάμει, Χριστὲ ὁ Θεός, καὶ ἡμᾶς τῶν τοῦ πονηροῦ διαφύλαξον ἐπηρειῶν, καὶ τὰ θεῖά σου Πάθη, καὶ τὴν ζωηφόρον Ἀνάστασιν προσκυνῆσαι ἀξίωσον, τὸ τεσσαρακονθήμερον εὐμαρῶς διανύσαντας στάδιον, καὶ ἐλέησον ἡμᾶς ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος. Ἀμήν.

* * *

## ΚΑΤΑΒΑΣΙΑΙ

τῆς Σταυροπροσκυνήσεως

Ὠιδὴ α´. Ἦχος α´.

Ὁ θειότατος προετύπωσε πάλαι Μωσῆς, ἐν Ἐρυθρᾷ θαλάσσῃ διαβιβάσας Ἰσραήλ, τὸν Σταυρόν σου, τὴν ὑγρὰν τῇ ῥάβδῳ τεμών, ᾠδήν σοι ἐξόδιον ἀναμέλπων, Χριστὲ ὁ Θεός.

Ὠιδὴ γ´.

Στερέωσον, Δέσποτα Χριστέ, τῷ Σταυρῷ σου ἐν πέτρᾳ με τῇ τῆς πίστεως, μὴ σαλευθῆναι τὸν νοῦν ἐχθροῦ προσβολαῖς τοῦ δυσμενοῦς· ...

... μόνος γὰρ εἶ ἅγιος.

Ὠιδὴ δ´.

Ἐπὶ Σταυροῦ σε, δυνατέ, φωστὴρ ὁ μέγας κατιδών, τρόμῳ ἐπαρθείς, τὰς ἀκτῖνας συνέστειλεν, ἔκρυψε· πᾶσα δὲ κτίσις ὕμνησεν ἐν φόβῳ τὴν σὴν μακροθυμίαν· καὶ γὰρ ἐπλήσθη ἡ γῆ τῆς σῆς αἰνέσεως.

Ὠιδὴ ε´.

Ὀρθρίζοντες σὲ ἀνυμνοῦμεν, Σωτὴρ τοῦ κόσμου, εἰρήνην εὑράμενοι τῷ Σταυρῷ σου· δι᾿ οὗ ἀνεκαίνισας τὸ γένος τὸ ἀνθρώπινον, φῶς πρὸς ἀνέσπερον ἄγων ἡμᾶς.

Ὠιδὴ ϛ΄.

Τὸν τύπον τοῦ θείου Σταυροῦ Ἰωνᾶς ἐν κοιλίᾳ τοῦ κήτους τεταμέναις παλάμαις προδιεχάραξε καὶ ἀνέθορε, σεσωσμένος τοῦ θηρός, τῇ δυνάμει σου, Λόγε.

Ὠιδὴ ζ΄.

Φλογώσεως ὁ παῖδας ῥυσάμενος, σάρκα προσλαβόμενος, ἦλθεν ἐπὶ γῆς· καὶ Σταυρῷ προσηλωθεὶς σωτηρίαν ἡμῖν ἐδωρήσατο, ὁ μόνος εὐλογητὸς τῶν πατέρων Θεὸς καὶ ὑπερένδοξος.

Ὠιδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Χεῖρας, ἐν τῷ λάκκῳ βληθεὶς τῶν λεόντων, ὁ μέγας ἐν προφήταις σταυροειδῶς ἐκπετάσας Δανιήλ, ἀβλαβὴς ἐκ τῆς τούτων καταβρώσεως σέσωσται, εὐλογῶν Χριστὸν τὸν Θεὸν εἰς τοὺς αἰῶνας.

ὁ διάκονος· ***Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.***

## Η ΩιΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ἦχος α΄.

Στίχ. α΄. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. β΄. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. γ΄. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. δ΄. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ε.΄ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ϛ΄. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Καταβασία. Ὠιδὴ θ΄.

Ὦ Μῆτερ παρθένε καὶ Θεοτόκε ἀψευδής, ἡ τεκοῦσα ἀσπόρως Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν ἐν Σταυρῷ ὑψωθέντα σαρκί, σὲ οἱ πιστοὶ ἅπαντες ἀξίως σὺν τούτῳ νῦν μεγαλύνομεν.

Συναπτὴ μικρά, μεθ᾿ ἣν ἐκφώνησις·

***Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...***

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἦχος β΄.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.
Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ...

... ὅτι ἅγιός ἐστι.

Ἀναστάσιμον Ἐξαποστειλάριον ΙΑ΄.

Μετὰ τὴν θείαν ἔγερσιν, τρὶς τῷ Πέτρῳ· Φιλεῖς με; πυθόμενος ὁ Κύριος, τῶν ἰδίων προβάτων, προβάλλεται ποιμενάρχην· ὃς ἰδών, ὃν ἠγάπα, ὁ Ἰησοῦς ἑπόμενον, ἤρετο τὸν Δεσπότην· Οὗτος δὲ τί; Ἐὰν θέλω, ἔφησε, μένειν τοῦτον, ἕως καὶ πάλιν ἔρχομαι, τί πρὸς σὲ φίλε Πέτρε;

καὶ τοῦ Σταυροῦ. Τοῖς Μαθηταῖς.

Σταυρὸν Χριστοῦ τὸν τίμιον, σήμερον προτεθέντα ἰδόντες προσκυνήσωμεν, καὶ πιστῶς εὐφρανθῶμεν, κατασπαζόμενοι πόθῳ, τὸν ἐν τούτῳ θελήσει, σταυρωθέντα αἰτούμενοι, Κύριον ἀξιῶσαι, πάντας ἡμᾶς, τὸν Σταυρὸν τὸν τίμιον προσκυνῆσαι, καὶ φθάσαι τὴν Ἀνάστασιν, πάντας ἀκατακρίτως.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸ ξύλον ἐν ᾧ Πάνσεμνε τὰς ἀχράντους παλάμας, ὑπὲρ ἡμῶν ἐξέτεινε, προσπαγεὶς ὁ Υἱός σου, νῦν εὐσεβῶς προσκυνοῦμεν· δὸς ἡμῖν τὴν εἰρήνην, καὶ τὰ κοσμοσωτήρια, φθάσαι πάνσεπτα Πάθη, καὶ τὴν λαμπράν, καὶ κοσμοχαρμόσυνον προσκυνῆσαι, τοῦ Πάσχα κυριώνυμον...

...καὶ φωσφόρον ἡμέραν.

* * *

## ΑΙΝΟΙ

Ἦχος γ΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στιχηρὰ Ἀναστάσιμα. Ἦχος γ΄.

Στίχ. α΄. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Δεῦτε πάντα τὰ ἔθνη, γνῶτε τοῦ φρικτοῦ μυστηρίου τὴν δύναμιν· Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὁ ἐν ἀρχῇ Λόγος, ἐσταυρώθη δι᾽ ἡμᾶς, καὶ ἑκὼν ἐτάφη, καὶ ἀνέστη ἐκ νεκρῶν, τοῦ σῶσαι τὰ σύμπαντα. Αὐτὸν προσκυνήσωμεν.

Στίχ. β΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Διηγήσαντο πάντα τὰ θαυμάσια, οἱ φύλακές σου Κύριε· ἀλλὰ τὸ συνέδριον τῆς ματαιότητος, πληρῶσαν δώρων τὴν δεξιὰν αὐτῶν, κρύπτειν ἐνόμιζον τὴν ἀνάστασίν σου, ἣν ὁ κόσμος δοξάζει. Ἐλέησον ἡμᾶς.

Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Χαρᾶς τὰ πάντα πεπλήρωται, τῆς ἀναστάσεως τὴν πεῖραν εἰληφότα· Μαρία γὰρ ἡ Μαγδαληνή, ἐπὶ τὸ μνῆμα ἦλθεν, εὗρεν Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τοῖς ἱματίοις ἐξαστράπτοντα, καὶ λέγοντα· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ᾽ ἐγήγερται, καθὼς εἶπε, προάγων ἐν τῇ Γαλιλαίᾳ.

Στίχ. δ΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ἐν τῷ φωτί σου Δέσποτα, ὀψόμεθα φῶς φιλάνθρωπε· ἀνέστης γὰρ ἐκ τῶν νεκρῶν, σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων δωρούμενος, ἵνα σε πᾶσα κτίσις δοξολογῇ, τὸν μόνον ἀναμάρτητον. Ἐλέησον ἡμᾶς.

καὶ τοῦ Σταυροῦ Προσόμοια γ΄ εἰς δ΄.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Στίχ. ε΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἐν φωναῖς ἀλαλάξωμεν, ἐν ᾠδαῖς μεγαλύνωμεν, τὸν Σταυρὸν τὸν τίμιον, ἀσπαζόμενοι, καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν· Σταυρὲ πανσεβάσμιε, καθαγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, τῇ δυνάμει σου, καὶ παντοίας ἐκ βλάβης ἐναντίων, διατήρησον ἀτρώτους τοὺς εὐσεβῶς προσκυνοῦντάς σε.

Στίχ. ϛ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Ἐν φωναῖς ἀλαλάξωμεν, ...

Στίχ. ζ΄. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.
Προσελθόντες ἀρύσασθε, μὴ κενούμενα νάματα, τοῦ Σταυροῦ τῇ χάριτι, προερχόμενα, ἰδοὺ προκείμενον βλέποντες τὸ Ξύλον τὸ ἅγιον, χαρισμάτων τὴν πηγὴν ἀρδομένην τῷ Αἵματι καὶ τῷ ὕδατι τοῦ Δεσπότου τῶν ὅλων, τοῦ ἐν τούτῳ, ἑκουσίως ὑψωθέντος καὶ τοὺς βροτοὺς ἀνυψώσαντος.

Στίχ. η΄. Ὁ δὲ Θεὸς ἡμῶν πρὸ αἰώνων εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.
Ἐκκλησίας ἑδραίωμα, βασιλέων κραταίωμα, μοναζόντων καύχημα καὶ διάσωσμα, σὺ εἶ Σταυρὲ πανσεβάσμιε· διὸ προσκυνοῦντές σε, καὶ καρδίας καὶ ψυχάς, φωτιζόμεθα σήμερον, θείᾳ χάριτι, τοῦ ἐν σοὶ προσπαγέντος, καὶ τὸ κράτος, τοῦ δολίου καθελόντος καὶ τὴν ἀρὰν ἀφανίσαντος.

Δόξα. Τοῦ Τριῳδίου. Ἦχος πλ. δ΄.

Τὴν ὑψηλόφρονα γνώμην τῶν κακίστων Φαρισαίων, ὁ πάντων Κύριος, παραβολικῶς ἐκφεύγειν ταύτην ἐδίδαξε, καὶ μὴ ὑψηλοφρονεῖν, παρ᾽ ὃ δεῖ φρονεῖν, πάντας ἐπαίδευσεν, ὑπογραμμὸς καὶ τύπος, ὁ αὐτὸς γενόμενος, μέχρι Σταυροῦ καὶ θανάτου, ἑαυτὸν ἐκένωσεν. Εὐχαριστοῦντες οὖν σὺν τῷ Τελώνῃ εἴπωμεν· Ὁ παθὼν ὑπὲρ ἡμῶν καὶ ἀπαθὴς διαμείνας Θεός, τῶν παθῶν ἡμᾶς ῥῦσαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

* * *

καὶ εὐθὺς ψάλλεται εἰς ἦχον δ΄ ἅγια

## Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾿ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. (γ´)

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (ἐκ γ´)

Δόξα. Καὶ νῦν.
Ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

Καὶ πάλιν γεγονωτέρᾳ τῇ φωνῇ·
(εἰς τὸ ᾀσματικὸν δὲ τοῦτο τρισάγιον γίνεται ἡ ἔξοδος τῆς λιτανείας τοῦ τιμίου Σταυροῦ)
Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

Εἰς τὸ τέλος τῆς δοξολογίας πρὸ τῆς βορείας πύλης τοῦ ἱ. βήματος σχηματίζεται ἱ. λιτανεία κατὰ τὴν ἑξῆς τάξιν· προηγοῦνται οἱ λαμπαδοῦχοι, ἀκολουθοῦν οἱ φέροντες τὰ ἑξαπτέρυγα, εἶτα οἱ χοροὶ ψάλλοντες τὸ ᾀσματικὸν «Ἅγιος ὁ Θεὸς» καὶ εἶτα οἱ μετὰ θυμιατῶν θυμιῶντες.

Ἐνῷ ψάλλεται τὸ ᾀσματικόν, ὁ ἱερεύς, ἐνδεδυμένος τὴν στολὴν αὐτοῦ, θυμιᾷ τὴν ἁγίαν τράπεζαν καὶ τὸν τίμιον Σταυρόν, κείμενον ἐπ᾿ αὐτῆς ἐν ηὐτρεπισμένῳ δίσκῳ μετ᾿ ἀνθέων καὶ τριῶν ἀνημμένων κηρίων· εἶτα αἴρει τὸν δίσκον, θέτει αὐτὸν ἐπὶ τῆς κεφαλῆς, στρέφεται περὶ τὴν ἁγίαν Τράπεζαν ἐκ δεξιῶν πρὸς τὰ ἀριστερά, ἐξέρχεται διὰ τῆς βορείας πύλης τοῦ ἁγ. Βήματος καὶ μετὰ τῆς ἱ. λιτανείας ἔρχεται εἰς τὸ μέσον τοῦ ναοῦ πρὸ ηὐτρεπισμένου τετραποδίου, ποιεῖ τρεῖς κύκλους περὶ αὐτὸ καὶ ἵσταται βλέπων πρὸς ἀνατολάς.

Πληρωθέντος τοῦ ᾀσματικοῦ ὁ ἱερεὺς ἐκφωνεῖ· «Σοφία, ὀρθοί», θέτει τὸν δίσκον ἐπὶ τοῦ τετραποδίου καὶ λαβὼν τὸ θυμιατὸν καὶ θυμιῶν κύκλῳ τοῦ τετραποδίου σταυροειδῶς ψάλλει τὸ τροπάριον «Σῶσον, Κύριε, τὸν λαόν σου», τὸ ὁποῖον ἐπαναλαμβάνει ἕκαστος τῶν χορῶν ἀνὰ μίαν. Εἶτα προσκυνεῖ τὸν τ. Σταυρὸν ψάλλων τὸν ὕμνον «Τὸν σταυρόν σου προσκυνοῦμεν, δέσποτα, καὶ τὴν ἁγίαν σου ἀνάστασιν δοξάζομεν», ὃν ἐπαναλαμβάνουν οἱ χοροὶ ἀνὰ μίαν.

Εἶτα οἱ χοροὶ τὰ ἰδιόμελα «Δεῦτε, πιστοί, τὸ ζωοποιὸν» κ.λπ., ἐνῷ προσέρχεται ὁ λαός, προσκυνεῖ τὸν τ. Σταυρὸν καὶ λαμβάνει παρὰ τοῦ ἱερέως ἄνθη.

Εἶτα τὸ ἀναστάσιμον τροπάριον. Ἦχος δ´.
Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν· ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον τὸ νῖκος ἔδωκεν ἡμῖν καὶ τὸ μέγα ἔλεος.

* * * * *

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἀντίφωνα τῆς Σταυροπροσκυνήσεως

Ἀντίφωνον Α´. Ἦχος β´.

Στίχ. α´. Ἐσημειώθη ἐφ᾿ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. (δ´ 7)
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β´. Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. (νθ´ 6)
Ταῖς πρεσβείαις τῆς Θεοτόκου ...

Στίχ. γ΄. Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις. (ξζ΄19)
Ταῖς πρεσβείαις τῆς Θεοτόκου ...

Στίχ. δ΄. Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου, Κύριε. (ξ΄ 6)
Ταῖς πρεσβείαις τῆς Θεοτόκου ...

Δόξα. Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου ...

## Ἀντίφωνον Β΄. Ἦχος β΄.

Στίχ. α΄. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. (ϞΖ΄ 3)
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. β΄. Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. (ρλα΄ 7)
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστάς ...

Στίχ. γ΄. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. (ογ΄ 12)
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστάς ...

Στίχ. δ΄. Σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός, ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ. (με΄ 11)
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστάς ...

Δόξα. Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

## Ἀντίφωνον Γ΄. Ἦχος α΄.

Στίχ. α΄. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. (Ϟη΄ 5)
Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Στίχ. β΄. Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. (κζ΄ 9)
Σῶσον, Κύριε, τὸν λαόν σου ...

Στίχ. γ΄. Καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος. (κζ΄ 9)
Σῶσον, Κύριε, τὸν λαόν σου ...

* * *

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

### Εἰσοδικόν. Ἦχος β΄.

(ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ Εἰσοδικόν)

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν ...
... ψάλλοντάς σοι, Ἀλληλούϊα.

* * *

### Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον. Ἦχος γ΄.

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελῆται συλλείτουργον)

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Εἶτα·

### Τοῦ Σταυροῦ. Ἦχος α΄.

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Καὶ τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

Εἶτα τὸ Κοντάκιον. Ἦχος πλ. δ΄. Αὐτόμελον.

εἴθισται νὰ ψάλληται ἀντιφωνικῶς ὑπὸ τῶν Λειτουργῶν καὶ τῶν Ψαλτῶν

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια,
ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια
ἀναγράφω σοι ἡ πόλις σου, Θεοτόκε.
Ἀλλ᾽ ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον,
ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον,
ἵνα κράζω σοι· Χαῖρε, νύμφη ἀνύμφευτε.

* * *

## ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

ἀντί τοῦ Τρισαγίου

Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν.

* * *

## ΑΠΟΣΤΟΛΟΣ

Κυριακῆς Γ΄ Νηστειῶν

Προκείμενον καὶ Ἀλληλουάριον τοῦ Τιμίου Σταυροῦ

Προκείμενον. Ἦχος πλ. β΄. (Ψαλμὸς κζ΄)

Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Στίχ. Πρὸς σέ, Κύριε, κεκράξομαι ὁ Θεός μου.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(Ἑβρ. δ΄ 14-16, ε΄ 1-6)

Ἀδελφοί, ἔχοντες ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ᾽ ὁμοιότητα χωρὶς ἁμαρτίας. Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν. Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Ἀαρών. Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ᾽ ὁ λαλήσας πρὸς αὐτόν· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· καθὼς καὶ ἐν ἑτέρῳ λέγει· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Ἀλληλούϊα. (γ΄)

Ἦχος πλ. β΄. (Ψαλμὸς ογ΄)

Στίχ. Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς.

Στίχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

* * *

## ΕΥΑΓΓΕΛΙΟΝ

Κυριακῆς Γ΄ Νηστειῶν

Ἐκ τοῦ κατὰ Μᾶρκον.

(Μαρκ. η΄ 34-38, θ΄ 1)

Εἶπεν ὁ Κύριος· Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὃς

γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ᾿ ἂν ἀπολέσει τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν. Τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. Καὶ ἔλεγεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Δόξα σοι, Κύριε, δόξα σοι.

* * *

**Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Μ. Βασιλείου**

* * *

Εἰς τό· *Ἐξαιρέτως τῆς Παναγίας...*

Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, ἀγγέλων τὸ σύστημα καὶ ἀνθρώπων τὸ γένος, ἡγιασμένε ναὲ καὶ παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεὸς ἐσαρκώθη καὶ παιδίον γέγονεν ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν· τὴν γὰρ σὴν μήτραν θρόνον ἐποίησε καὶ τὴν σὴν γαστέρα πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις· δόξα σοι.

* * *

Κοινωνικόν.

Ἐσημειώθη ἐφ᾿ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. Ἀλληλούϊα.

Μετὰ τὴν μετάδοσιν, ἀντὶ τοῦ· Εἴδομεν...

Ἀπολυτίκιον τοῦ Σταυροῦ. Ἦχος α΄.

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Εἰς τό· *Πάντοτε, νῦν καὶ ἀεί...*

Ἦχος β΄.

Ἀμήν, Ἀμήν, Ἀμήν. Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων καὶ φρικτῶν σου μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχήν. Ἦχος β΄.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γ΄)

Ἀπόλυσις· *Ὁ ἀναστὰς ἐκ νεκρῶν...δυνάμει τοῦ Τιμίου καὶ Ζῳοποιοῦ Σταυροῦ, οὗ τὴν προσκύνησιν ἐπιτελοῦμεν...*

Δι᾿ εὐχῶν... Ἀμήν.

* * * * *

**Ἡ Ἀκολουθία αὐτὴ καταρτίσθηκε καὶ διανέμεται δωρεὰν**

**ἀπὸ τὸν ὀρθόδοξο Ἱστότοπο http://akolouthies.wordpress.com**

**Προσφέρεται γιὰ ἰδιωτικὴ χρῆσι. Δὲν ἐπιτρέπεται ἡ ἐμπόρευσί της.**

Σημείωσις. Ὁ Τίμιος Σταυρὸς τῆς τελετῆς παραμένει ἐν τῷ ηὐτρεπισμένῳ δίσκῳ ἐπὶ τοῦ τετραποδίου εἰς τὸ μέσον τοῦ ναοῦ πρὸς προσκύνησιν ἄχρι τῆς Παρασκευῆς τῆς παρούσης ἑβδομάδος, ὅτε μετὰ τὴν θ΄ ὥραν καὶ πρὸ τῆς Προηγιασμένης γίνεται ἡ τελευταία προσκύνησις αὐτοῦ καὶ αἴρεται ἐν τῷ ἱερῷ βήματι.

Ἀπολυτίκια τῶν συνεορταζομένων Ἁγίων

Ἀπολυτίκιον τοῦ Μάρτυρος.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁ μάρτυς σου Κύριε ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν. Ἔχων γὰρ τὴν ἰσχύν σου τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση· αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἕτερον Ἀπολυτίκιον τοῦ Μάρτυρος.
(Γερασίμου Μικραγιαννανίτου)
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἐκβλαστήσας ὡς ῥόδον Μάρτυς ἀμάραντον, ἀθλητικῶς κατευφραίνεις τὴν Ἐκκλησίαν Χριστοῦ, τῇ εὐπνοίᾳ τῶν λαμπρῶν κατορθωμάτων σου· σὺ γὰρ παθῶν ζῳοποιῶν, ἀνεδείχθης κοινωνός, νομίμως ἀνδραγαθήσας, ὦ Καλλιόπιε μάκαρ, ὑπὲρ τῆς δόξης τοῦ Σωτῆρος ἡμῶν.

Ἀπολυτίκιον τῶν 200 μαρτύρων ἐν Σινώπῃ
(Γεωργίου Γαλανόπουλου)
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Γλυπτὰ ἐμυκτήρισεν ὁ τῶν μαρτύρων χορός, καὶ δόλιον αἵμασιν ἐναποπνίξας ἐχθρόν, ἀρίστως ἐνήθλησεν, εἰς πόλιν τῆς Σινώπης ἐκτμηθεὶς ξίφει κάραν· Ὅθεν διακοσίους τοῦ Χριστοῦ ἀνυμνοῦμεν ὁπλίτας ἐζωσμένους Σταυρόν, πρὸς νίκης τρόπαια.

Ἀπολυτίκιον Ἁγίου Γεωργίου Ἐπισκόπου Μυτιλήνης τοῦ Σημειοφόρου.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Κανόνα πίστεως καὶ εἰκόνα πρᾳότητος, ἐγκρατείας διδάσκαλον ἀνέδειξέ σε τῇ ποίμνῃ σου ἡ τῶν πραγμάτων ἀλήθεια· διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, πάτερ Ἱεράρχα Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον Ἀπολυτίκιον τοῦ Ἱεράρχου.
Ἦχος γ΄. Θείας πίστεως.

Θείου Πνεύματος, καρποφορήσας, ὡς θεόφυτος λειμὼν τὴν χάριν, Ἱεράρχα τῶν ἀῤῥήτων Γεώργιε· τὰς τῶν ψυχῶν ἐγεώργησας αὔλακας, ὡς ἐπιπνοίας ᾄθλου γεώργιον. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον Ἀπολυτίκιον τοῦ Ἱεράρχου.
Ἦχος γ΄. Θείας πίστεως.

Ὅπλοις πίστεως τετειχισμένος, βίον ἔλιπες ἐν ἐξορίᾳ, Μυτιλήνης ποιμὴν θεοπρόβλητε, Σημειοφόρος πιστοῖς ἐνδεικνύμενος, τοῖς σεβομένοις χειρός σου τὸ λείψανον. Πάτερ ἔνδοξε θαυματοβρύτα Γεώργιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν χάριν καὶ ἔλεος.

Ἕτερον Ἀπολυτίκιον τοῦ Ἱεράρχου.
(Γεωργίου Γαλανόπουλου)
Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῆς Ἑώας τὸν γόνον Μυτιλήνης τὸ ἄνθισμα καὶ Σημειοφόρον Κυρίου Ἱεράρχην τιμήσωμεν, Γεώργιον τὸν Ὅσιον πιστοί, λαμπρὸν Μυτιληναίων ὁδηγόν, τῆς ὁμολογίας πύργον καὶ ἀσεβῶν πολέμιον κραυγάζοντες· Δόξα τῷ παρασχόντι σοι ισχύν, δόξα τῷ σε ἁγιάσαντι, δόξα τῷ δωρουμένῳ διὰ σοῦ πᾶσιν ἰάματα.

Ἀπολυτίκιον Ὁσίου Γερασίμου τοῦ ἐν Πάτμῳ, τοῦ Βυζαντίου.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀσκητικῶν διατελῶν ἐν τῷ κόσμῳ, καὶ διαλάμψας ἐν σοφίᾳ τῶν λόγων, πρὸς ἀπαθείας ἔφθασας ἀκρώρειαν, φαίνων ὥσπερ ἥλιος ἐν τοῖς πέρασι μάκαρ, πάντας τοὺς τιμῶντάς σε καταυγάζων θεόφρον, τῆς οὐρανίου δεῖξον χαρμονῆς, μετόχους πάτερ Γεράσιμε Ὅσιε.

Ἕτερον.
Ἦχος α΄. Ἐν τῇ γεννήσει.

Ἐν τῇ ζωῇ σου τὸν πονηρὸν κατεπάλαισας, ἐν τῇ κοιμήσει σου ἀξίως ὦ Γεράσιμε ἐδοξάσθης, μετέστης εἰς οὐρανούς, ὅλως Θεῷ διατελῶν, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς διασῴζεις, ἐκ θανάτου τοὺς τιμῶντάς σε.

Ἕτερον.

(ὑπὸ Σεβ.Ῥόδου Κυρίλλου τοῦ Κογεράκη)

Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Τὴν θύραθεν σοφίαν τῇ ἔσω ὑποτάξας, καὶ ἀσκητικῶς τῆς ψυχῆς σου τὸ φρόνημα ὑψώσας, ἐφάνης διδάσκαλος σοφὸς τοῦ Γένους ἐν ἡμέραις χαλεπαῖς· διὰ τοῦτό σε τιμῶμεν χρεωστικῶς, Γεράσιμε θεοφόρε. Δόξα τῷ σε σοφίσαντι Θεῷ, δόξα τῷ σε ἁγιάσαντι, δόξα τῷ δωρησαμένῳ σε ἡμῖν θεῖον ὑπέρμαχον.

## Ἀπολυτίκιον τοῦ Ὁσίου Σάββα τοῦ ἐν Καλύμνῳ. (1948)

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Θείας χάριτος σκεῦος τὸ τιμαλφέστατον, Γάνου καὶ Χώρας τὸν γόνον καὶ τῆς Καλύμνου σεπτὸν πολιοῦχον καὶ προστάτην ἀνυμνήσωμεν, Σάββαν τὸν θεῖον, ὡς Χριστοῦ φίλον γνήσιον, πιστοί, καὶ βάθρον ἀμέμπτου βίου, βοῶντες· φρούρει καὶ σκέπε τοὺς σὲ τιμῶντας, πάτερ ὅσιε.

Ἕτερον Ἀπολυτίκιον.

(Γερασίμου Μικραγιαννανίτου)

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῆς Καλύμνου τὸ κλέος καὶ θεῖον ἔφορον, καὶ τῶν πάλαι Ὁσίων τὸν ἰσοστάσιον, εὐφημήσωμεν πιστοὶ Σάββαν τὸν Ὅσιον, ὅτι δεδόξασται λαμπρῶς, ὡς θεράπων τοῦ Χριστοῦ, θαυμάτων τῇ ἐνεργείᾳ, καὶ διανέμει τοῖς πᾶσι, παρὰ Θεοῦ χάριν καὶ ἔλεος.

Ἕτερον.

(ὑπὸ Σεβ.Ῥόδου Κυρίλλου τοῦ Κογεράκη)

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Μετανάστης τοῦ κόσμου γεγονὼς διὰ πίστεως, τῆς ἀσκητικῆς πολιτείας τῷ φωτὶ ὑπερήστραψας, ὡς ἥλιος νεόφωτος ἡμῖν, διώκων τὴν σκοτίαν τῶν παθῶν· διὰ τοῦτό σοι βοῶμεν οἱ εὐσεβεῖς, θεόληπτε πάτερ Σάββα· Δόξα τῷ σε δοξάσαντι Χριστῷ, δόξα τῷ σε ἁγιάσαντι, δόξα τῷ ἀφθαρτίσαντι τὸ σὸν τίμιον σκήνωμα.

Ἕτερον Ἀπολυτίκιον τοῦ Ὁσίου

(Ἰσιδώρου Μητροπολίτου Καλύμνου)

Ἦχος γ΄. Θείας πίστεως.

Γόνος γέγονας Γάνου καὶ Χώρας, μέγα καύχημα νήσου Καλύμνου, παμμακάριστε Σάββα, πατὴρ ἡμῶν· καὶ γὰρ ὁδὸν διελθὼν τῆς ἀσκήσεως, τοῦ ἀκροτάτου τέλους ἐπέτυχες. Διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Μοναζόντων τὸ κλέος, μετανοίας διδάσκαλε, θαυματουργιῶν ἐπιδείξει πάντας κατηύγασας· ἀνέλαμψας ὡς ἥλιος ἡμῶν, διώκων τῶν παθῶν τὰς προσβολάς· διὰ τοῦτο, Σάββα ὅσιε, καὶ θήκην τῶν σῶν λειψάνων ἀσπαζόμεθα. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ σὲ θαυμαστώσαντι· δόξα τῷ δωρησαμένῳ σε ἡμῖν σκέπην καὶ καύχημα.

## Ἀπολυτίκιον Ὁσίου Σάββα τοῦ νεωτέρου, τοῦ ὑποτακτικοῦ (1961).

(Χαραλάμπους Μπούσια)

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Διαυγὲς οἰκητήριον θείου Πνεύματος, σοῦ συνωνύμου Ὁσίου, τοῦ ἐν Καλύμνω λαμπρέ, καὶ σεπτοῦ Ἀμφιλοχίου τῆς ἀσκήσεως, Σάββα θεόφρον ζηλωτά, τοῦ ἀκτίστου τοῦ φωτός, ὁ ἔμπλεως ἐκδυσώπει, Χριστὸν παθῶν σκοτομήνην, ἡμῶν σκεδάσαι τῶν τιμώντων σε.

## Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος Τύχωνος Μόσχας.

(Χαραλάμπους Μπούσια)

Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.

Εὐσεβείας τὸ κράτος τὸν μεγαλύναντα, θεοειδῆ Πατριάρχην ἐν δυσχειμέροις καιροῖς ἀθεότητος τῆς Μόσχας πάντες μέλψωμεν, Τύχωνα πίστεως φανὸν ὥσπερ ὁμολογητὴν σκεδάσαντα καθεστῶτος τυραννικοῦ ζόφον ὕμνοις, αὐτοῦ πρεσβείας ἐξαιτούμενοι.

κατὰ τὴν ὥραν, καθ᾽ ἣν ὁ λαὸς προσκυνεῖ τὸν Τίμιον Σταυρόν, οἱ Ψάλται ψάλλουσιν·

Ἰδιόμελα.

(ποίημα Λέοντος Δεσπότου)

Ἦχος β´.

Δεῦτε πιστοὶ τὸ ζωοποιὸν Ξύλον προσκυνήσωμεν· ἐν ᾧ Χριστὸς ὁ Βασιλεὺς τῆς δόξης, ἑκουσίως χεῖρας ἐκτείνας, ὕψωσεν ἡμᾶς εἰς τὴν ἀρχαίαν μακαριότητα· οὓς πρὶν ὁ ἐχθρός, δι᾽ ἡδονῆς συλήσας ἐξορίστους Θεοῦ πεποίηκε. Δεῦτε πιστοὶ Ξύλον προσκυνήσωμεν, δι᾽ οὗ ἠξιώθημεν, τῶν ἀοράτων ἐχθρῶν συντρίβειν τὰς κάρας. Δεῦτε πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, τὸν Σταυρὸν τοῦ Κυρίου ὕμνοις τιμήσωμεν· Χαίροις Σταυρὲ τοῦ πεσόντος Ἀδὰμ ἡ τελεία λύτρωσις· ἐν σοὶ οἱ πιστότατοι Βασιλεῖς ἡμῶν καυχῶνται, ὡς τῇ σῇ δυνάμει, Ἰσμαηλίτην λαόν, κραταιῶς ὑποτάττοντες. Σὲ νῦν μετὰ φόβου, Χριστιανοὶ ἀσπαζόμεθα, καὶ τὸν ἐν σοὶ προσπαγέντα Θεόν, δοξάζομεν λέγοντες· Κύριε, ὁ ἐν αὐτῷ προσπαγείς, ἐλέησον ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἦχος πλ. δ´.

Σήμερον ὁ Δεσπότης τῆς Κτίσεως, καὶ Κύριος τῆς δόξης, τῷ Σταυρῷ προσπήγνυται, καὶ τὴν πλευρὰν κεντᾶται· χολῆς καὶ ὄξους γεύεται ὁ γλυκασμὸς τῆς Ἐκκλησίας· στέφανον ἐξ ἀκανθῶν περιβάλλεται ὁ καλύπτων Οὐρανὸν τοῖς νέφεσι· χλαῖναν ἐνδύεται χλεύης, καὶ ῥαπίζεται πηλίνῃ χειρί, ὁ τῇ χειρὶ πλάσας τὸν ἄνθρωπον· τὸν νῶτον φραγγελοῦται, ὁ περιβάλλων τὸν Οὐρανὸν ἐν νεφέλαις· ἐμπτυσμοὺς καὶ μάστιγας δέχεται ὀνειδισμοὺς καὶ κολαφισμούς, καὶ πάντα ὑπομένει δι᾽ ἐμὲ τὸν κατάκριτον, ὁ Λυτρωτής μου καὶ Θεός, ἵνα σώσῃ Κόσμον ἐκ πλάνης ὡς εὔσπλαγχνος.

Δόξα. Ἦχος ὁ αὐτός.

Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ προσιτός μοι γίνεται, καὶ πάσχει πάθη, ἐλευθερῶν με τῶν παθῶν· ὁ φῶς παρέχων τυφλοῖς, ὑπὸ ἀνόμων χειλέων ἐμπτύεται, καὶ δίδωσι τὸν νῶτον ὑπὲρ αἰχμαλώτων εἰς μάστιγας. Τοῦτον ἡ Ἁγνὴ καὶ Μήτηρ, ἐπὶ Σταυροῦ θεωροῦσα, ὀδυνηρῶς ἐφθέγγετο· Οἴμοι Τέκνον ἐμόν! τί τοῦτο πεποίηκας; ὁ ὡραῖος κάλλει παρὰ πάντας βροτούς, ἄπνους ἄμορφος φαίνῃ, οὐκ ἔχων εἶδος οὐδὲ κάλλος. Οἴμοι τὸ ἐμὸν φῶς! οὐ δύναμαι ὑπνοῦντα καθορᾶν σε· τὰ σπλάγχνα τιτρώσκομαι καὶ δεινή μοι ῥομφαία τὴν καρδίαν διέρχεται. Ἀνυμνῶ σου τὰ Πάθη, προσκυνῶ σου τὸ εὔσπλαγχνον, μακρόθυμε Κύριε δόξα σοι.

Καὶ νῦν. Ἦχος πλ. β´. Εἱρμολογικόν.

Σήμερον τὸ προφητικὸν πεπλήρωται λόγιον· ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου Κύριε· καὶ ξύλου σωτηρίας γευσάμενοι, τῶν ἐξ ἁμαρτίας παθῶν ἐλευθερίας ἐτύχομεν, πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε.